ἐπὶ τούτου αὔξεσθαι ἤρξατο, καὶ ἐπὶ μείζω προέκοψεν, ὡς ἑκασταχῆ τῶν Ρωμαϊκῶν χωρῶν τε καὶ πόλεων χορείας σοφῶν καθορᾶσθαι, καὶ Μουσῶν συνίστασθαι θέατρα, καὶ πάντα σχεδὸν τόπον, ἀγοραῖς πλήθει ἐλλογίμων ἀνδρῶν ἐπιστημονικῶν ζητημάτων παραθέσεις καὶ ἀντιθέσεις ἀσχολουμένων, καὶ πονουμένων ἐπὶ λογικὰς προτάσεις καὶ συμπεράσματα. Ἀλλ' ὢ τῆς κοινῆς δυστυχίας, ὁ τοιοῦτος βασιλεὺς οὐδ' ὅλα τέσσαρα ἔτη ὁλόκληρα ἐπιβεβιωκὼς τῇ αὐτοκρατορίᾳ, ὡς εἴρηται, τὸ φυσικὸν χρέος ἀπέτισε· πλὴν πόθον αὐτοῦ καὶ μετὰ τὴν ἀπὸ τοῦ γεηροῦ σκήνους ἐκδημίαν, ἅπασι καταλελοιπὼς, καὶ μάλισθ' ὅσοις τῶν αὐτοῦ χαρίτων γεύσασθαι ὅπως δήποτε συμβεβήκει ἢ τῶν κατ' αὐτὸν ἀκροάσασθαι, ὥσπερ δῆτα κἀμοί.

Ὁ μὲν οὖν τοῦ βασιλέως Θεοδώρου υἱὸς Ἰωάννης ὀκτὼ ἦν ἐτῶν· ὁ δὲ πατὴρ αὐτοῦ βασιλεὺς διαθήκην ἐξέθετο, τάχα μὲν ὡς ἐπὶ τῷ παιδὶ, τῇ δ' ἀληθείᾳ ἐπὶ τῷ πρωτοβεστιαρίῳ τῷ Μουζάλωνι Γεωργίῳ, τοῦτον γὰρ ἡ διαθήκη ἐποίει τῶν Ρωμαϊκῶν ἁπάντων πραγμάτων κύριον, μέχρις ἂν ὁ υἱὸς αὐτοῦ καὶ βασιλεὺς Ἰωάννης εἰς τελείαν τὴν ἡλικίαν ἀφίκοιτο |, καὶ φ. 134ʳ
ὅρκοι περὶ τούτου προέβησαν παρὰ τῶν ἐντυχόντων τῷ τότε προστάξει τοῦ βασιλέως Θεοδώρου. Ἀλλ' οὔπω τρίτην εἶχεν ἐν τάφῳ κείμενος ὁ τοῦ βασιλέως νεκρὸς, καὶ συνδραμόντες οἱ ἐκεῖσε Ρωμαῖοι, (στράτευμα δὲ ἦν ἱκανὸν συνηγμένον), ἀλλὰ καὶ οἱ παρὰ τοῦ βασιλέως κεκακωμένοι ἄνδρες εὐγενεῖς, ὁ Στρατηγόπουλος δηλαδὴ Ἀλέξιος, οὗ τὸν υἱὸν Κωνσταντῖνον τετύφλωκεν, αὐτὸν δὲ καθεῖρξεν, ὁ Τορνίκης Κωνσταντῖνος, ὃν μέγαν πριμμικήριον εἶχεν ὁ βασιλεὺς Ἰωάννης, καὶ καθωσίωτο, ὁ Φιλῆς Θεόδωρος, τῶν ὀφθαλμῶν στερηθεὶς, ὁ Ζαγαρομμάτης Γεώργιος (1), ὃν ὁ βασιλεὺς Ἰωάννης πρωτοβεστιαρίτην ὠνό-

(1) Κάτω τοῦ περιθεωρίου τοῦ φύλλου 120 ἀναγινώσκονται « ἅγιε . . . . . . . Ζαγαρομμάτην σκέποις », πιθανῶς ἐκ μολυβδοβούλλου.